# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α

Act 15,40; 16,19; 17,1.10. 2 Th 1,1.

1 *Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκ-*
*κλησίᾳ Θεσσαλονικέων ἐν θεῷ πατρὶ καὶ κυρίῳ*
*Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη.*
2 *Εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων*
*ὑμῶν, μνείαν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν,*

1 K 13,13. Kol 1,4.5.

3 *ἀδιαλείπτως* ' *μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς*
*πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπο-*
*μονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-*
4 *στοῦ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, εἰδό-*
*τες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ [τοῦ] θεοῦ, τὴν*

---

**1**,*1 πατρι : + ημων | ειρηνη : + απο θεου πατρος ημων και κυριου Ιησου Χριστου 2 μνειαν υμων*

*ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐάγγέλιον ἡμῶν οὐκ ἐγενήθη* 5 1 K 2,5.
*εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει*
*καὶ ἐν πνεύματι ἁγίῳ καὶ πληροφορίᾳ πολλῇ,*
*καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.*
*καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ κυρίου,* 6 1 K 4,16. Act 13,52.
*δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς*
*πνεύματος ἁγίου, ὥστε γενέσθαι ὑμᾶς τύπον πᾶσιν* 7 4,10.
*τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ.*
*ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ κυρίου οὐ* 8 R 1,8.
*μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλ' ἐν παντὶ*
*τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν,*
*ὥστε μὴ χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι· αὐτοὶ γὰρ* 9 Act 14,15. 1 K 12,2.
*περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν*
*πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεὸν*
*ἀπὸ τῶν εἰδώλων δουλεύειν θεῷ ζῶντι καὶ ἀλη-*
*θινῷ, καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρα-* 10 5,9. Tt 2,13.
*νῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυό-*
*μενον ἡμᾶς ἐκ τῆς ὀργῆς τῆς ἐρχομένης.*
*Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν* **2** 1,5.9.
*τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, ¹ ἀλλὰ προπα-* 2 Act 16,20–24; 17,1–5.
*θόντες καὶ ὑβρισθέντες καθὼς οἴδατε ἐν Φιλίπ-*
*ποις ἐπαρρησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν λαλῆσαι*
*πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολλῷ*
*ἀγῶνι. ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης* 3
*οὐδὲ ἐξ ἀκαθαρσίας οὐδὲ ἐν δόλῳ, ἀλλὰ καθὼς* 4 Jr 11,20. 1 T 1,11. G 1,10.
*δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγ-*
*γέλιον οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσ-*
*κοντες, ἀλλὰ θεῷ τῷ* **δοκιμάζοντι τὰς καρδίας**
*ἡμῶν. οὔτε γάρ ποτε ἐν λόγῳ κολακίας ἐγενή-* 5 Act 20,33. Mc 12,40. 2 P 2,3.
*θημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονε-*

---

5 *Ɦ— εν* 4⁰ | fin W, 7 **h** *τυπους* 8 T *και εν τη Αχαϊα* | T *αλλα* 9 *ημων* : **h** *υμων* 10 *των* 2⁰ : [H] **2**,*1* fin W. 5 RW *κολακειας* | H om *εν* 2⁰

---

5 *ημων* : (*vl* pr) *του θεου* | *εις* : *προς* | *πληροφ.* : pr *εν* 8 *αλλα και εν* 10 *εκ* 3⁰ : *απο* **2**,*3* *ουδε* 2⁰ : *ουτε* 4 *τω θεω τω*

J 5,41.44. 6 ξίας, θεὸς μάρτυς, ˈ οὔτε ζητοῦντες ἐξ ἀνθρώπων
7 δόξαν, οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ' ἄλλων, ˈ δυνάμενοι
ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι· ἀλλὰ ἐγενή-
θημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ
8 τὰ ἑαυτῆς τέκνα· οὕτως ὁμειρόμενοι ὑμῶν εὐδο-
κοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον
τοῦ θεοῦ ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι
1 K 4,12. 9 ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. μνημονεύετε γάρ, ἀδελ-
φοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς
καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί
τινα ὑμῶν ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ
10 θεοῦ. ὑμεῖς μάρτυρες καὶ ὁ θεός, ὡς ὁσίως καὶ
δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενή-
11 θημεν, καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς
E 4,1. Ph 1,27. 12 πατὴρ τέκνα ἑαυτοῦ ˈ παρακαλοῦντες ὑμᾶς καὶ
παραμυθούμενοι, καὶ μαρτυρόμενοι εἰς τὸ περι-
πατεῖν ὑμᾶς ἀξίως τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς
εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.
1,2. G 1,11. 13 Καὶ διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ
θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς
παρ' ἡμῶν τοῦ θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώ-
πων ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγον θεοῦ, ὃς
14 καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. ὑμεῖς
γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν
τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ
Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν
ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν
Act 2,23; 7,52. 15 Ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀποκτεινάντων
Ἰησοῦν καὶ τοὺς προφήτας, καὶ ἡμᾶς ἐκδιωξάν-
των, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώ-

---

7 **R** *αλλ* | **H** *νηπιοι* (**h**r ut text) | **W** *υμων. ως … τεκνα,* 8 **H** *ὁμειρομενοι* | **HW** *ηυδοκουμεν* 11 **RW** *οιδατε,* 12 **HW** *παραμυθουμενοι και* | **h** *καλεσαντος* 13 **HW** *αληθως εστιν*

---

*8 γεγενησθε 9 νυκτος γαρ 13 — Και (1°) 15 τους : + ιδιους*

ποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσιν λα- 16 Gn 15,16. Mt 23,32.33.
λῆσαι ἵνα σωθῶσιν, εἰς τὸ **ἀναπληρῶσαι αὐτῶν**
**τὰς ἁμαρτίας** πάντοτε. ἔφθασεν δὲ ἐπ' αὐτοὺς
ἡ ὀργὴ εἰς τέλος.
Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν 17 R 1,11.13.
πρὸς καιρὸν ὥρας προσώπῳ οὐ καρδίᾳ, περισσο-
τέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν
πολλῇ ἐπιθυμίᾳ. διότι ἠθελήσαμεν ἐλθεῖν πρὸς 18
ὑμᾶς, ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς, καὶ
ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς. τίς γὰρ ἡμῶν ἐλπὶς 19 Ph 2,16; 4,1.
ἢ χαρὰ ἢ στέφανος καυχήσεως — ἢ οὐχὶ καὶ
ὑμεῖς — ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν
τῇ αὐτοῦ παρουσίᾳ; ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν 20
καὶ ἡ χαρά. Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν 3 Act 17,14.15.
καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν 2 Act 16,1–3.
Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ
θεοῦ ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στη-
ρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως
ὑμῶν ¹ τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσιν ταύ- 3 E 3,13. 2T 3,12.
ταις. αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα·
καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν 4
ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ
οἴδατε. διὰ τοῦτο κἀγὼ μηκέτι στέγων ἔπεμψα 5 Ph 2,16.
εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρα-
σεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ
κόπος ἡμῶν. Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς 6 Act 18,5.
ἡμᾶς ἀφ' ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν
πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν
ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν
καθάπερ καὶ ἡμεῖς ὑμᾶς, διὰ τοῦτο παρεκλή- 7

---

*16* hW *εφθακεν* *19* RW *καυχησεως; ἢ* *3,1* W *ευδοκησαμεν* *2 διακονον* : hW *συνεργον* | *του θεου* : [h]—W *5* h *την υμων πιστιν*

---

*16 οργη* : + *του θεου* *19 καυχ.* : *αγαλλιασεως* *3,1 διοτι* *2 θεου* : + *και συνεργον ημων* | *παρακ.* : + *υμας* | *υπερ* : *περι* *7 δια* : pr *και*

*θημεν, ἀδελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ ἀνάγκῃ*
8 *καὶ θλίψει ἡμῶν διὰ τῆς ὑμῶν πίστεως, ὅτι νῦν*
9 *ζῶμεν ἐὰν ὑμεῖς στήκετε ἐν κυρίῳ. τίνα γὰρ*
*εὐχαριστίαν δυνάμεθα τῷ θεῷ ἀνταποδοῦναι περὶ*
*ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς*
10 *ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας*
*ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ*
*πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς*
11 *πίστεως ὑμῶν; Αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ*
*ἡμῶν καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς κατευθύναι τὴν*
12 *ὁδὸν ἡμῶν πρὸς ὑμᾶς· ὑμᾶς δὲ ὁ κύριος πλεο-*
*νάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους*
Ph 1,10. 13 *καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, ' εἰς*
*τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν*
*ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν*
*ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ μετὰ*
*πάντων τῶν ἁγίων αὐτοῦ.*

4 *Λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ*
*παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ, ἵνα καθὼς παρε-*
*λάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν*
*καὶ ἀρέσκειν θεῷ, καθὼς καὶ περιπατεῖτε, ἵνα*
2 *περισσεύητε μᾶλλον. οἴδατε γὰρ τίνας παραγ-*
*γελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ κυρίου Ἰησοῦ.*
5,23. H 10,10. 1 P 1,16. 3 *Τοῦτο γάρ ἐστιν θέλημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς*
1 K 6,18.15. 4 *ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, ' εἰδέναι*
*ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ*
Jr 10,25. Ps 79,6. 5 *καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ*
Ps 94,2. 6 **τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεόν**, *τὸ μὴ ὑπερ-*
*βαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελ-*
*φὸν αὐτοῦ, διότι* **ἔκδικος κύριος** *περὶ πάντων*

---

*13* h *αμεμπτως* | fin hT + *αμην* **4**,*1* ℵ— *ουν* | *ινα* 1° : [H]

---

*8 στηκητε 9 θεω* et *θεου* : *κυριω* et *κυριου 13 αγιωσ.* : *δικαιοσυνη* **4**,*1* — *καθως κ. περιπ.* *3 της* : pr *πασης*

τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν καὶ διεμαρ-
τυράμεθα. οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ 7
ἀκαθαρσίᾳ ἀλλ' ἐν ἁγιασμῷ. τοιγαροῦν ὁ ἀθε- 8 L 10,16. Ez 36,27; 37,14.
τῶν οὐκ ἄνθρωπον ἀθετεῖ ἀλλὰ τὸν θεὸν τὸν
**διδόντα τὸ πνεῦμα αὐτοῦ** τὸ ἅγιον **εἰς ὑμᾶς.**
Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γρά- 9 J 13,34. Jr 31,33.34.
φειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς
τὸ ἀγαπᾶν ἀλλήλους· καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς 10
πάντας τοὺς ἀδελφοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ.
Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν
μᾶλλον, καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσ- 11 E 4,28. 2 Th 3,8.12.
σειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν,
καθὼς ὑμῖν παρηγγείλαμεν, ἵνα περιπατῆτε εὐσχη- 12 Kol 4,5. 1 K 5,12.13.
μόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε.
Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ 13 1 K 15,20. E 2,12.
τῶν κοιμωμένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ
λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστεύομεν 14 R 14,9. 1 K 15,3.4.12.
ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη, οὕτως καὶ ὁ
θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν
αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, 15 1 K 15,51; 7,10.25.
ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν
παρουσίαν τοῦ κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοι-
μηθέντας· ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν 16 1 K 15,23.52.
φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ, κατα-
βήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ
ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ 17 J 12,26; 17,24.
περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα
ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα·
καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. Ὥστε 18
παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

---

7 T αλλα 8 διδοντα : TW pr και 9 W ειχομεν
10 αδελφ. : [H]W+ τους

---

8 δοντα | υμας : ημας 9 εχομεν 10 εις : pr και
11 ταις : + ιδιαις 13 θελω | κεκοιμημενων | λυπεισθε
14 και ο θ. και 15 κυριου 2° : Ιησου 16 πρωτοι 17 — οι
περιλειπ. | υπαντησιν | συν 2° : εν

Mt 24,36. 5 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί,
Mt 24,42–44. 2 οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· αὐτοὶ γὰρ ἀκρι-
2 P 3,10. Ap 3,3; 16,15. βῶς οἴδατε ὅτι ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ
Jr 6,14. 3 οὕτως ἔρχεται. ὅταν λέγωσιν· εἰρήνη καὶ ἀσφά-
Mt 24,39. J 16,21.22. λεια, τότε αἰφνίδιος αὐτοῖς ἐπίσταται ὄλεθρος
L 21,28. ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ
4 ἐκφύγωσιν. ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει,
R 13,12. E 5,8. 5 ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ· πάν-
τες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας.
6 Οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους· ¹ ἄρα οὖν μὴ
καθεύδωμεν ὡς οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ
7 νήφωμεν. οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύ-
δουσιν, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν·
E 6,14–17. 8 ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, **ἐνδυσάμενοι θώ-**
Is 59,17. **ρακα** πίστεως καὶ ἀγάπης καὶ **περικεφαλαίαν** ἐλ-
1,10. 9 πίδα **σωτηρίας**· ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ θεὸς εἰς
ὀργὴν ἀλλὰ εἰς περιποίησιν σωτηρίας διὰ τοῦ
4,14. R 14,8.9. 10 κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀποθανόντος
περὶ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν
Jd 20. 11 ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλή-
λους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ
ποιεῖτε.
1 K 16,18. 12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς
1 T 5,17. κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν
13 κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς
ὑπερεκπερισσῶς ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν.
2 Th 3,15. 14 εἰρηνεύετε ἐν ἑαυτοῖς. ¹ Παρακαλοῦμεν δὲ ὑμᾶς,
ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε
τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακρο-
Prv 20,22. R 12,17. 1 P 3,9. 15 θυμεῖτε πρὸς πάντας. ὁρᾶτε μή τις κακὸν ἀντὶ

---

*3 οταν* : **hW**+ *δε* | **W** *εφισταται* *4* **ℋ** *κλεπτας* *9* **h** *ο θεος ημας* | **H** [*Χριστου*] *10 περι* : **h** *υπερ* *13* **ℋ** *υπερεκπερισσου* | *εαυτοις* : **T** *αὐτοις*

---

*2 οτι* : + *η* *3 οταν* : + *γαρ* | *εκφευξονται* *5 εσμεν* : *εστε* *6 ως* : + *και* *7 μεθυοντες* *12 προισταναμενους* *13 ηγεισθε*

*κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώ-*
*κετε εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε* 16 Ph 4,4.
*χαίρετε, ἀδιαλείπτως προσεύχεσθε,* 17 L 18,1. R 12,12. Kol 4,2.
*ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα θεοῦ* 18 E 5,20.
*ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.*
*τὸ πνεῦμα μὴ σβέννυτε,* 19 1 K 14,30.39.
*προφητείας μὴ ἐξουθενεῖτε·* 20 1 K 14,1.
*πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε·* 21 1 K 14,29. 1 J 4,1.
***ἀπὸ παντὸς** εἴδους **πονηροῦ ἀπέχεσθε**.* 22 Job 1,1.8; 2,3.
*Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτε-* 23
*λεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ*
*καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου*
*ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. πιστὸς ὁ καλῶν* 24 1 K 1,9. 2 Th 3,3.
*ὑμᾶς, ὃς καὶ ποιήσει.*
*Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν.* 25
*Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλή-* 26 1 K 16,20.
*ματι ἁγίῳ. Ἐνορκίζω ὑμᾶς τὸν κύριον ἀναγνω-* 27
*σθῆναι τὴν ἐπιστολὴν πᾶσιν τοῖς ἀδελφοῖς.*
*Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* 28
*μεθ' ὑμῶν.*

---

# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β

*Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκ-* 1 1 Th 1,1.
*κλησίᾳ Θεσσαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ*
*κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ* 2 R 1,7.
*θεοῦ πατρὸς [ἡμῶν] καὶ κυρίου Ἰησοῦ Χριστοῦ.*
*Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ* 3 2,13. 1 Th 1,2.3.
*ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυ-*
*ξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς*

---

*15* T *αποδοι* | *διωκετε* : hW+ *και* *19* T *ζβεννυτε* *21* H [*δε*] *25* *περι* : [H]W pr *και* *27* *αδελφοις* : hW pr *αγιοις* 1,2 [*ημων*] : T—HW

---

*27* *ορκιζω* *28* fin + *αμην*
[Subscriptio: *εγραφη απο Αθηνων vl απο Κορινθου*]

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/